A μόνον πληθυνόντος ἐν τῇ πόλει, ἀλλὰ καὶ ὅτι τοῦ νομίσματος. καὶ ὅτι οὐκ ἐν ἀργύρῳ μόνῳ, ἀλλὰ καὶ ἐν χαλκῷ χαράσσουσι τὴν γλαῦκα. διὸ τὴν παροιμίαν εἰρῆσθαι. μήποτε δὲ ἐπὶ τοῦ ζώου εἰκός ἐστι λεχθῆναι μόνου. Κορυδὸς, Ελεᾶς.] ὁ Κορυδὸς παρὰ Αριστοτέλει Κορύδων λέγεται, εἰ μὴ ἕτερός ἐστι. ποικίλα γὰρ τὰ ὀνόματα. ὁ δὲ Ελεᾶς, μήποτε ἐλείας ἐστὶν ἐν τοῖς Καλλιμάχου ἀναγραφομένοις. φησὶ γὰρ, ἔλεια μικρὸν φωνῇ ἀγαθόν. ἀναγέγραπται δὲ καὶ ἡ Υποθυμὶς, καὶ ὁ Νέρτος. καὶ ὁ Ερυθρόπους καὶ ἡ Πορφυρίς. B καὶ ὁ Δρυόψ. καὶ ἡ Αμπελίς. Κεβλήπυρις.] μήποτε οὐχ ἕν ἐστιν, ἀλλὰ δύο φησὶν ὁ Σύμμαχος. καὶ ἐν τοῖς Καλλιμάχου γὰρ ἀναγέγραπται κέβλη. εἶτα μύρμηξ Ερμίππου τετραμέτροις. καὶ Θεμιστοκλέους τοῦ προνοός τις ὢν κεβλήπυρίς τις ὀνομάζεται. ὥστε ἐνθάδε ἢ ἐκεῖ ἡμάρτηται τὸ ἓν παρὰ τῇ γραφῇ. ἄλλως. οὐ δύναται δύο εἶναι, διὰ τὸν ἀριθμὸν τῶν εἰκοσιτεσσάρων. Πορφυρίς.] ἡ πορφυρὶς ἀναγέγραπται. κερχνὶς δὲ, οὔ. ἀλλὰ κερχνή. καὶ ἡ κολυμβὶς δὲ φαίνεται καὶ ὁ δρύοψ. καὶ ἡ ἀμπελίς. Δίδυμος δὲ, τὸν μικρὸν ἱέρακά φησι.

Bisetvs. Φλὼν] παρὰ τῷ Σουΐδᾳ φλὼν, εἶδος ὀρνέου, ἴσον ἀετῷ. καὶ παρὰ τῷ Ησυχίῳ, φλὼν, εἶδος ἀετοῦ. ὁ αὐτὸς, δρύοψ, ὀρνεόν τι διαφέρον τοῦ δρυοκολάπτου. ἵνα δὲ ὁ τῶν χολίων ἀριθμὸς τῶν κδ΄. τῶν χοροῦ προσώπων μὴ ὑπερβάλλῃ, τινὲς ταῦτα δύο ὀνόματα, φλὼν καὶ δρύοψ, συνεζευγμένως οὕτως ἐκφέρουσι, φλωοδρύοψ, ὅπερ καλῶς ἔχειν δοκεῖ.

Σχόλια. Οἷα πιππίζουσιν.] κατὰ μίμησιν τῶν ὀρνέων πεποίηται ἡ λέξις. λέγει δὲ ἔστι καὶ τὸ ποτίζειν πιππύζειν.

## ΧΟΡΟΣ, ΕΠΟΨ.

Bisetvs. Εποψ τῷ τῶν ὀρνίθων χορῷ τὴν τοῦ C Ευελπίδου, καὶ Πεισθεταίρου παρουσίαν δηλοῖ.

Χο. ΠΟποποποποποποποποποί.
Ποῦ μ᾽ ἄρ᾽ ὃς ἐκάλεσε;
Τίνα τόπον ἄρα νέμεται;
Επ. Οὑτοσὶ πάλαι πάρειμι, κοὐκ ἀποστατῶ φίλων.
Χο. Τιπιπιπιπιμπιτεού.
D Τίνα λόγον ἄρα ποτὲ
Πρὸς ἐμὲ φίλον ἔχων;
Επ. Κοινόν. ἀσφαλῆ. δίκαιον. ἡδύν. ὠφελήσιμον.
Ανδρε γὰρ λεπτολογιστὰ δεῦρ᾽ ἀφίκονθ᾽ ὡς ἐμέ.
Χο. Ποῦ. πᾶ. πῶς φής;
Επ. Φήμ᾽ ἀπ᾽ ἀνθρώπων ἀφῖχθαι δεῦρο πρεσβύτα δύο.
E Ηκετον δ᾽ ἔχοντε πρέμνον πράγματος πελωρίου.
Χο. Ω μέγιστον ἐξαμαρτὼν, ἐξ ὅτου τράφην ἐγώ,
Πῶς λέγεις. Επ. μήπω φοβηθῇς τὸν λόγον. Χο. τί μ᾽ εἰργάσω;
Επ. Ανδρ᾽ ἐδεξάμην ἐραστὰ τῆσδε τῆς συνουσίας.
F Χο. Καὶ δέδρακας τοῦτο τοὔργον; Επ. καὶ δεδρακώς γ᾽ ἥδομαι.
Χο. Κἄστον ἤδη πού; Επ. παρ᾽ ἡμῖν, εἰ παρ᾽ ὑμῖν εἴμ᾽ ἐγώ.

CH. PO, po, po, po, po, po, po, po, po, poe.
Vbi me igitur qui vocauit?
Quem locum igitur pascit?
EP. Hic, diu adsum, & non absum amicis.
CH. Ti, ti, ti, ti, timptru.
Quem sermonem igitur vnquam
Ad me amicum habens?
EP. Communem, securum, iustum, suauem, vtilem:
Viri enim subtiles rationatiui huc venerunt ad me.
CH. Vbi? quò? quomodo dicis?
EP. Dico ab hominibus venisse huc legatos duos.
Venerunt autem habentes radicem rei magnæ.
CH. O maxime peccator, ex quo nutritus sum ego.
Quomodo dicis? EP. Nondum timuisti sermonem? CH. Quid mihi fecisti?
EP. Viros suscepi amatores huius conuersationis.
CHO. Et fecisti hoc opus? EP. Et faciens lætor.
CH. Et sunt iam vbi? EP. Apud nos, si apud vos sum ego.

Σχόλια. Ποποποποπο.] εἴσθεσις περιόδου ἀμοιβαίας τοῦ χοροῦ καὶ τοῦ ὑποκειτοῦ κώλων καὶ στίχων ιζ. ὧν τὰ πρῶτα τρία κῶλα τοῦ χοροῦ ἀναπαιστικὰ πενθημιμερῆ ἐπιμεμιγμένα τετραβράχεσιν. ὁ δὲ τροχαϊκὸς τετράμετρος καταληκτικός. τὰ ἑξῆς πάλιν τρία κῶλα τοῦ G χοροῦ ἀναπαιστικὴ βάσις ἕκαστον τούτων. ἐπιμεμιγμένα καὶ ταῦτα τετραβράχεσιν. οἱ ἑξῆς πάλιν δύο τροχαϊκοὶ τετράμετροι καταληκτικοί. τὸ ἑξῆς τοῦ χοροῦ κῶλον ἀναπαιστικὴ βάσις, οἱ δὲ ἑξῆς ζ τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ὧν τελευταῖος. κἄστον ἤδη που παρ᾽ ἡμῖν εἰ παρ᾽ ὑμῖν εἴμ᾽ ἐγώ. Τίνα λόγον.] ἀπὸ κοινοῦ τὸ πάρει.

Κοινὸν ὠφελήσιμον.] ἀντὶ τοῦ κοινωφελῆ. ἀσφαλῆ δὲ, τουτέστιν ἀληθῆ καὶ σφαλῆναι μὴ δυνάμενον. Λεπτολογιστά.] λεπτοὶ εἰς τὸ λογίζεσθαι. Ποῦ. πᾶ.] διαταράσσονται οἱ ὄρνιθες ἀκηκοότες ἄνδρας παρεῖναι. ὑποπτεύουσι γὰρ αὐτοὺς εἶναι ὀρνιθοθήρας. Εχοντε πρέμνον] στέλεχος καὶ ῥίζαν. πράγματος δὲ πελωρίου, ὅ ἐστι χρήσιμόν τι εἰσηγούμενοι. Ω μέγιστον ἐξαμαρτών.] ἐπεὶ ἀνθρώπους ἐδέξατο θηρατὰς τῶν ὀρνίθων. ἄλλως. τῶν ἐξημαρτημένων ἐξότε ἐτέχθην. Τῆς συνουσίας] τῆς ἡμετέρας τῶν ὀρνέων κοινωνίας καὶ διαγωγῆς. εἰ παρ᾽ ὑμῖν εἴμ᾽ ἐγώ. εἰ ἐγὼ παρ᾽ ὑμῖν εἰμι, καὶ ἐκεῖνοι παρ᾽ ἐμοί εἰσιν.